## περὶ ὀρύγματος.

Ἁρμόζει τὴν ἔξω σοῦδαν τοῦ τείχους, ὀρύσσεσθαι εἰς βάθος πολύ. πρὸς τὸ καταντῆσαι εἰς αὐτὴν τὸ γινόμενον ὄρυγμα παρὰ τῶν ἐχθρῶν. καὶ πρὸς τὸ φανῆναι αὐτοὺς ὀρύσσοντας ὅταν φθάσωσιν εἰς αὐτήν. εἰ δὲ δύνασαι, καὶ τεῖχος ἐκεῖ ποίησον ὀχυρώτατον. καὶ εἰ οὐκ ἔχεις λιθάριον, ποίησον ξύλινον τὸ τοιοῦτον τεῖχος. ὅταν δὲ φθάσωσι τὰ ὀρύγματα τῶν πολεμίων εἰς τὴν τοιαύτην σοῦδαν, βάλλε πάλιν καὶ ἄλλα ξύλα εἰς τὰ ὀρύγματα καὶ εἰς τὸ ξύλινον ἐκεῖνο τεῖχος καὶ ἐμπύρισον αὐτά. καὶ ἐπισκέπασον μετὰ τοῦ χώματος ἵνα ὑπάγῃ ὁ καπνὸς εἰς τὸ ὄρυγμα καὶ βλάψῃ τοὺς ὄντας ἐκεῖ. πολλοὶ γὰρ ἀποθνήσκουσιν ἐξ αὐτοῦ. βλάψεις δὲ τοὺς ὀρύσσοντας καὶ ἂν ἀπολύσῃς σφῆκας καὶ μελίσσας εἰς τὰ ὀρύγματα. ἁρμόζει δὲ εἰς τὸν οὗ ὀρύσσουσι τόπον, ἂν τηριάσῃς καὶ ὑπ' αὐτῶν: οἱ πολεμούμενοι ἔσωθεν κάστρου ὀφείλουσι εἰς τὰς πύλας εἰς τὸ ἔσωθεν μέρος ὀρύξαι σοῦδαν, καὶ καταλιπεῖν ἔνθεν κἀκεῖθεν διαβασίδια. ἐνδεχόμενον δὲ ἐστὶ τοὺς πολεμίους ἐπιδιώκοντας καὶ μὴ προϊδόντας, ἐμπεσεῖν εἰς αὐτὴν τὴν σοῦδαν:— γρ. λιθ

Εἰ θέλεις ἐπερχόμενος κατὰ τῶν πολεμίων ἀπατῆσαι αὐτοὺς ὅτι ἀναχωρεῖς. ἢ πάλιν ἀναχωρῶν ἐξ αὐτῶν ἀπατῆσαι τούτους ὅτι ἐπέρχεσαι γύρωθεν καθ' αὐτῶν, πρόσταξον καλιγωθῆναι τὰ ἱππάρια τοῦ ὄντος μετὰ σοῦ στρατοῦ ἐξοπίσω ἤγουν τὸ ἔμπροσθεν ἵνα κεῖται ὀπίσω καὶ τὸ ἔμπροσθεν ὄπισθεν:—

Ὁ Ἀντίοχος ἀποστατήσας ἀπὸ τοῦ ἰδίου ἀδελφοῦ Σελεύκου, ἔφυγεν εἰς Μεσοποταμίαν. ὁ δὲ Σέλευκος ἔπεμψε δύο στρατηγοὺς διῶξαι αὐτόν. πολεμηθεὶς δὲ ὑπ' αὐτῶν ὁ Ἀντίοχος καὶ πληγωθεὶς ἐν τῷ πολέμῳ διέφυγε. θέλων δὲ ἀπατῆσαι τοὺς στρατηγοὺς καὶ βεβαιῶσαι ὅτι ἀπέθανεν. ἵνα παύσωνται τοῦ διώκειν αὐτούς, ἔπεμψε στρατιώτας πρὸς τὸ ἀναζητῆσαι τὸ σῶμα αὐτοῦ ὡς δῆθεν φονευθέντος. οἵτινες ἀπελθόντες πρὸς τοὺς διώκοντας αὐτὸν στρατηγούς, παρεκάλουν εὑρεῖν τὸ σῶμα. οἱ δὲ στρατηγοὶ πιστεύσαντες ἀποθανεῖν τὸν Ἀντίοχον, ἀπέστειλαν πρὸς ἀναζήτησιν τοῦ σώματος αὐτοῦ, πλῆθος στρατιωτῶν ἀόπλων. ἐπεὶ δὲ ἀναψηλαφῶντες τὸ σῶμα τοῦ Ἀντιόχου, διεσπάρησαν ἄλλα ἀλλαχοῦ. ἐφάνη ὁ Ἀντίοχος μετὰ τῶν ἰδίων στρατιωτῶν καὶ ἐνίκησεν αὐτούς:— Polyaen. III. p. m. 324.

### περὶ παρεμβολῆς:—

Ἔστιν ἐν τῷ μέσῳ ἡ τένδα τῶν τεσσάρων ἀρχόντων ταγμάτων. ἔξωθεν τούτων εἰσὶ τέσσαρες ὁδοὶ στρατειδῶς ἐκβάλλουσαι ἔξω τοῦ φοσσάτου φυλαττόμεναι ὑπὸ πεζῶν. ὀφείλει δὲ ἔχειν ἑκάστης ὁδοῦ πλάτος ποδῶν πεντήκοντα. παράκεινται δὲ εἰς τὰς τοιαύτας τέσσαρας ὁδούς, αἱ τένδαι τῶν λοιπῶν καβαλλαρίων ἀρχόντων, ἔχουσαι μέσον ῥύμας πρὸς τὸ διαβαίνειν τοὺς εἰσερχομένους καὶ ἐξερχομένους ἀπὸ τῶν τενδῶν. ἀφοῦ δὲ πληρωθῶσιν αἱ τένδαι τῶν καβαλλαρίων, ἐστὶ τόπος ἀργὸς ἔσωθεν τοῦ ἀπλήκτου γύρωθεν. εἰς ὃν ἀνακολουθοῦσαι εἰς τὸ φοσσάτον ἅμαξαι ἵστανται. καὶ ὀφείλει ἔχειν πλάτος πόδας διακοσίους, διὰ τὸ μὴ φθάνειν βέλος εἰς τὰς τένδας, ἐνδεχόμενον τυχὸν παρὰ τῶν πολεμίων εἰ τύχοι ἐπελθεῖν. ἀπὸ δὲ τοῦ ἀργοῦ τόπου f. στρατηδῶς